# ΘΕΦΑΝΟΥΣ ΝΟΝΝΟΥ ΠΡΟΣ ΚΟΝΣΤΑΝΙΝΟΝ ΤΟΝ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΝ ΒΑΣΙΛΕΑ ΣΥΝΟΨΙΣ ΕΝ ΕΠΙΤΟΜΗ ΤΗΣ ΙΑΤΡΙΚΗΣ ΑΠΑΣΗΣ ΤΕΧΝΗΣ

## ΠΡΟΟΙΜΙΟΝ

Τὰς προσταχθείσας ἐπιτομὰς παρὰ τῆς σῆς θειότητος, ἐκ θεοῦ αὐτοκράτωρ, περὶ τῆς τῶν ἰατρικῶν θεωρημάτων συναγωγῆς. ἔσπευσα κατὰ τὸν δυνατὸν διὰ συντομίας ὁμοῦ καὶ σαφηνείας τὴν ἰατρικὴν ἐπελθεῖν. Μηδὲν κατὰ δύναμιν τῶν ἀναγκαίων ὑπερορῶν, ἕκαστον ἐκθέμενος τῶν παθημάτων, πρῶτον μὲν τὰς αἰτίας τούτων ὑπαφορεύσων σαφῶς · δεύτερον δὲ τὰς σημειώσεις, δι' ὧν ῥᾳδίως γνωσθήσονται, εἶθ' ἑξῆς τὴν θεραπείαν, δι' ἧν πάντα κατὰ τέχνεν θεραπεύσωμεν, πρότερον ἀπὸ κεφαλῆς ἀρξάμενοι, διὰ τὸ ἐκεῖσε ἱδρυσθὲντὸ ἱερὸν τῆς λογικῆς ψυχῆς.

## ΠΕΡΙ ΡΕΟΥΣΩΝ ΤΡΙΧΩΝ ΚΕΦ. Αᾆ.

ἀπορρέουσιν αἱ τρίχες, ἀραιότητι μὲν τοῦ δέρματος, ἐνδείᾳ δὲ τῆς γεννώσης οὐσίας αὐτάς · ἀλόη σὺν οἴνῳ μέλανι αὐσηρῷ ἐπίχριε, ἢ σμύρνᾳ καὶ λαδάνῳ σὺν οἴνῳ καὶ μυρσίνῳ ἐλαίου · ἢ σεύτλου χυλὸμ μετὰ μυρσίνου ἐλαίου ἄλειφε τὴν κεφαλὴν ἢ περιστερεῶνος χυλῷ μετὰ μυρσίνου ἐλαίου · ἢ λάδανον σὺν οἴνῳ αὐστηρῷ καὶ σχινίνῳ ἐλαίῳ λειώσας κατάχριε. Ἀρχιγένους. Λαδάνου καὶ ἀψινθίου ἴσα, ἀρκευθίδας δέκα λείας, ὀθονίῳ ἐνδήσας, καὶ βρέξας ἐλαίῳ ἐφ' ἡμέρας πέντε, ἐκ τούτου ἄλειφε θ]ν κεφαλὴν, καὶ οὔτε ῥέουσιν αἱ τρίχες, οὔτε πίτυρα ἕξει. Λινόψερρμα ξηρὸν κατάκαυσον σὺν τῇ λινοκαλάμῃ καὶ τρίψας μετ' ἐλαίου σησαμίνου, καταχρίε. Πολυτρίχου μέρος ἕν, λαδάνου μέρη δύο οἴνῳ καὶ μυρσίνῳ ἐλαίῳ ἀναλαβὼν χρῶ. ἄλλο. ἀνεμώνης τὸ ἄνθος, ὅ ἐστι ποτηροκλάστρα μετ' ἐλαίου · καταχρίε μυρσίνου · τοῦτο δὲ καὶ μελαίνει ἄλλο. Περιστεῶνος βορτάνης ὀρθῃς λειώσας φύλλα σὺν ἐλαίῳ μυρσίνῳ ἀπόθου καὶ χρίε τὴν κεφαλήν ἄλλο. Μύρτων μελάνων οὐγΓ. γ'. λαδάνου τὸ ἴσον τρίβε διαλύων ἀκακίας καρποῦ τῷ ἀφεψήματι · τούτ' ἐστι τῶν λεγομένων ἀκάνθων κερατίων, ὅταν δὲ σχῇ γλοιοῦ τὸ πάχος ἀναλαβὼν ναρδίνῳ ἐλαίῳὴ ἄλλῳ τινὶ τῶν ἡδυσμάτων · ἄλλο. Σμῆγμα κεφαλῆς πυκνοτικὸν Βαλαυστίου Λ. Ζ' σανδαράχης Λ. Β' σιδίων Γο. γ' μυρσίνης φύλλων Γο. γ'. σαρκοκόλλης Γο. γ'. Κηκίδος Γο.γ'. σάπωνος γαλλικοῦ λιτρ. ἀ. Λουπίνων ἀπόζεμα σμήξας σμήχου. Λάδανον λειώσας μετὰ γλεύκου, ἢ γλυκέος οἴνου ὡς μέλιτος ἔχειν πάχος, χρίε προλουσαμένου. ἄλλο. ὕδωρ αὐξητικόν.ὕδατος ὀμβρίμου ξς'. ῥοῦ ἀλεξανδρίνου γό γ'. πολυτρίχου γό. δ'. βραθύος γό. δ'. λαδάνου οὐγΓ. δ'. μυρσίνης οὐγΓ. α'. κολοκύνθης ξηρᾶς γό. ἔα ταῦτα βρέχεσθαι εἰς ἄγγος ὑέλινου ἡμέρας κ'. κινῶν καθ' ἑκάστην αὐτὸ δὶς τῆς ἡμερᾶς · καὶ καταβάπτων ἐν αὐτῷ τὸ κτένιον, καθ' ἑκάστην κτένιζε.

## ΜΕΛΑΣΜΑΤΑ ΤΡΙΧΩΝΝ ΚΕΓ. Β'.

Κηκίδαν γο.ᾆ αᾆ. ἰοῦ σιδηροῦ γό. α'. στυπτηρίας Λ. β'. χαλκάνθου γό. α'. λείου σὺν οἴνῳ αὐστηρῷ ἢ οὖρον παλαιὸν ὡς μέλιτος ἔχειν πάχος καὶ προσμίξας νίτρον, τὰς τρίχας ἄλειφε, καὶ ἔα δι' ὅλης τῆς νυκτός · ἄλλο. σιδηροῦ ῥινίσματα ἔμβαλε ὄξει, καὶ στυπτηρίαν, καὶ ἔασον βρέχεσθαι ἡμέρας δέκα καὶ εἰς τοῦτο ἀποβάπτων τὴν κτέναν κτένιζε, ἄλλο. καππάρεως ῥίζα σὺν γάλακτι γυναικείῳ, ἔνιοι ὀνείῳ, μέχρι τὸ τρίτον λειφθῇ ἑψήσας κατάπλασσε εἰς νύκτα. ἄλλο. ἰτέας ῥύλλων χυλὸν μετ' ἐλαίου τρίβε · ἄκρως γὰρ μελαίνει. ἄλλο. μελαίνει πώγωνα φελλὸς ἄβροχος, καὶ μόλυβδος κεκαυμένος · σεύτλου ὠμοῦ χυλοῦ μέλιτος πάχος χρίσας ἔασον ἕως ἀρίστου, εἶτα κλύζου. ἄλλο. ἢ